### II

δέρμα καὶ ὀργυιαῖα κέρα βοὸς ἐκ βασιλῆος
Ἀμφιτρυωνιάδᾳ κεῖμεθ' ἀνὰ πρόπυλον
τεσσαρακαιδεκάδωρα, τὸν αὐχήεντα Φιλίππῳ
ἀντόμενον κατὰ γᾶς ἤλασε δεινὸς ἄκων
βούβοτον Ὀρβηλοῖο παρὰ σφυρόν. ἆ πολύολβος
Ἠμαθὶς ἃ τοίῳ κραίνεται ἁγεμόνι.

# ANTIPATER SIDONIUS

## A. *ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ*

### I

Πανὶ τάδ' αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνας·
Δᾶμις μὲν θηρῶν ἄρκυν ὀρειονόμων,
Κλείτωρ δὲ πλωτῶν τάδε δίκτυα, τῶν δὲ πετηνῶν
ἄρρηκτον Πίγρης τάνδε δεραιοπέδην.
τὸν μὲν γὰρ ξυλόχων, τὸν δ' ἠέρος, ὃν δ' ἀπὸ λίμνης
οὔποτε σὺν κενεοῖς οἶκος ἔδεκτο λίνοις.

### II

τὰν πρὶν Ἐνυαλίοιο καὶ Εἰράνας ὑποφᾶτιν
μέλπουσαν κλαγγὰν βάρβαρον ἐκ στομάτων,
χαλκοπαγῆ σάλπιγγα γέρας Φερένικος Ἀθάνᾳ,
λήξας καὶ πολέμου καὶ θυμέλας, ἔθετο.